UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Theophilo Subdiacono. 91.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

tebat, qui te ad inertiam & languorem inducant. Et quidem ſi inter ſubditos cenſeris, tamen ne ſic quidem te contemnere atque aſpernati conueniret, verùm te per conſilia & admonitiones ex improbitatis voragine extrahere fas eſſet, maximéque congruum. Cæterùm nõ tantum hinc Eccleſia detrimentum ac probrum acceptura eſſet. Nunc autem cùm in Sacerdotum numero cenſeatis (mitto quonam pacto, neque enim id mihi ſtudio eſt, vt te feriã, ſed vt ſanem) ne eos quidem, qui ſilentio vti cupiunt, quieſcere permittas. Multi enim Gentiles ac Iudæi impetũ in Eccleſiam faciunt, probra iactantes, ac vitã tuam proferẽtes, ſéque ob eam cauſam fidei noſtræ doctrinam conuellere exiſtimantes. Quamobrem ſi nullo iudicij metu percelleris, ſaltem præſentem gloriam affecta. Si nulla te cæleſtis regni cupiditas tenet, ſaltem bonam exiſtimationem appete. Si coronas minimè deſideras, ſaltem à probris te remoue. Si laudum tuarum præconium nulla te cura afficit, ſaltem id ſtude, vt ne traducaris ac ſugillaris. Si peruigilẽ illam Dei iuſtitiam haud perhorreſcis, humanas ſaltem leges metue: ne alioqui in ipſo quoque fortaſſe ſcelere deprehenſus extremo ſupplicio mulcteris.

ὑπηκόους ἐτέλεις, μάλιστα μὲν οὐδ' οὕτως καταφρονῆσαι ἐχρῆν, ἀλλὰ συμβουλαῖς καὶ παραινέσεσιν ἀνιμήσασθαί σε ἐκ τοῦ βυθοῦ τῆς κακίας, καὶ θέμις ἦν καὶ πρεπωδέστατον, πλὴν ἀλλ' οὐ τοσαύτη ζημία τῇ ἐκκλησίᾳ καὶ αἰσχύνη ἔμελλεν ἔσεσθαι. ἐπειδὴ δὲ εἰς τοὺς ἱερέας δοκεῖς τελεῖν. τὸ δ' ὅπως παρίημι. οὐ γὰρ πλῆξαί σε, ἀλλ' ἰάσασθαι προῄρημαι· οὐδὲ τοὺς ἐθέλοντας ἡσυχάζειν καὶ ἠρεμεῖν συγχωρεῖς. πολλοὶ γὰρ Ἕλληνες καὶ Ἰουδαῖοι τῇ ἐκκλησίᾳ ἐπιφύονται ὀνειδίζοντες, καὶ τὸν σὸν βίον προφέροντες, καὶ διὰ τοῦτο τῷ δόγματι λυμαίνεσθαι νομίζοντες. εἰ τοίνυν τὴν κρίσιν οὐ δέδοικας, κἂν τῆς παρούσης ἀντιποίησαι δόξης. εἰ βασιλείας οὐκ ἐρᾷς, κἂν ὑπολήψεως χρηστῆς ἐράσθητι. εἰ στεφάνων οὐκ ἐπιθυμεῖς, κἂν ὀνειδῶν ἀπαλλάγηθι. εἰ ἀναῤῥήσεως οὐ φροντίζεις, κἂν μὴ τοῦ κωμῳδεῖσθαι ἀντιποιήθητι. εἰ τὴν ἀκοίμητον δίκην οὐ φρίττεις, κἂν τοὺς τῶν ἀνθρώπων νόμους φοβήθητι, μήποτε καὶ ἐπ' αὐτοφώρῳ ληφθεὶς, τὴν ἐσχάτην ὑπομείνῃς τιμωρίαν.

Theophilo Subdiacono. 91.

Timotheus, qui ſedẽ illam bonis omnibus perfuſam, quam cælorum regnum appellant, nunc incolit, tantam à ſua virtute, iis à quibus cernebantur, vtilitatem afferebat, vt etiam ſola recordatione, eos, qui ipſius meminerunt, in officio contineat. Poterat enim, vel ſolùm in animis verſans, pudorem ſimul ipſis immittere, atque eos, quibus ipſe in mentem veniſſet, à turpibus & abſurdis affectionibus puros & immunes efficere.

Θεοφίλῳ ὑποδιακόνῳ. ϟα.

Τιμόθεος ὁ τὴν τῶν ἀγαθῶν ἁπάντων κατάῤῥυτον λῆξιν βασιλείαν οὐρανῶν προσαγορευομένην, νῦν νεμόμενος, τοσαύτην ἀπὸ τῆς ἀρετῆς τοῖς ὁρῶσιν ἐδημιούργει ὠφέλειαν, ὡς καὶ ἀπὸ μνήμης μόνον σωφρονίζειν τοὺς μνημονεύσαντας. ἤρκει γὰρ καὶ μόνον ἐλθὼν εἰς ἔννοιαν, αἰδῶ συνεισπέμψαι, καὶ τῶν ἀτόπων παθῶν ἀχράντους τοὺς μνησθέντας ἐργάζεσθαι.

Ophelio Grammatico. 92.

Apud vos, qui Grammatici eſtis, homonymum idem eſt quod ſynonymum: apud Philoſophos autem nõ item. verùm homonyma ea dicuntur, quorum nomen

Ὀφελίῳ γραμματικῷ. ϟβ.

Παρὰ μὲν ὑμῖν τοῖς γραμματικοῖς, τὸ ὁμώνυμον ταυτόν ἐστι τῷ συνωνύμῳ· παρὰ δὲ τοῖς φιλοσόφοις, οὐχί, ἀλλ' ὁμώνυμα λέγεται, ὧν ὄνομα μόνον κοινόν,